αὐτούς· γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου χαίροντες
ἅμα καὶ ὑβρίζοντες. [4]φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων ὁμοία 4
ἐθνῶν πολλῶν, φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων. κύριος
σαβαωθ ἐντέταλται ἔθνει ὁπλομάχῳ [5]ἔρχεσθαι ἐκ γῆς πόρρωθεν 5
ἀπ᾽ ἄκρου θεμελίου τοῦ οὐρανοῦ, κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ,
τοῦ καταφθεῖραι τὴν οἰκουμένην ὅλην. [6]ὀλολύζετε, ἐγγὺς γὰρ ἡ 6
ἡμέρα κυρίου, καὶ συντριβὴ παρὰ τοῦ θεοῦ ἥξει. [7]διὰ τοῦτο πᾶσα 7
χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει· [8]καὶ ταρα- 8
χθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν ὡς γυναικὸς
τικτούσης· καὶ συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον καὶ ἐκ-
στήσονται καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν. [9]ἰδοὺ 9
γὰρ ἡμέρα κυρίου ἀνίατος ἔρχεται θυμοῦ καὶ ὀργῆς θεῖναι τὴν οἰ-
κουμένην ὅλην ἔρημον καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς.
[10]οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ Ὠρίων καὶ πᾶς ὁ κόσμος 10
τοῦ οὐρανοῦ τὸ φῶς οὐ δώσουσιν, καὶ σκοτισθήσεται τοῦ ἡλίου
ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. [11]καὶ ἐντε- 11
λοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακὰ καὶ τοῖς ἀσεβέσιν τὰς ἁμαρτίας αὐ-
τῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω.
[12]καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ 12
ἄπυρον, καὶ ὁ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσται ἢ ὁ λίθος ὁ ἐκ
Σουφιρ. [13]ὁ γὰρ οὐρανὸς θυμωθήσεται καὶ ἡ γῆ σεισθήσεται ἐκ 13
τῶν θεμελίων αὐτῆς διὰ θυμὸν ὀργῆς κυρίου σαβαωθ τῇ ἡμέρᾳ, ᾗ
ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ. [14]καὶ ἔσονται οἱ καταλελειμμένοι ὡς 14
δορκάδιον φεῦγον καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔσται ὁ
συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι καὶ
ἄνθρωπον εἰς τὴν χώραν αὐτοῦ διῶξαι. [15]ὃς γὰρ ἂν ἁλῷ, ἡττηθή- 15
σεται, καὶ οἵτινες συνηγμένοι εἰσίν, μαχαίρᾳ πεσοῦνται· [16]καὶ τὰ 16
τέκνα αὐτῶν ἐνώπιον αὐτῶν ῥάξουσιν καὶ τὰς οἰκίας αὐτῶν προνο-
μεύσουσιν καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν. [17]ἰδοὺ ἐπεγείρω ὑμῖν 17
τοὺς Μήδους, οἳ οὐ λογίζονται ἀργύριον οὐδὲ χρυσίου χρείαν ἔχου-
σιν. [18]τοξεύματα νεανίσκων συντρίψουσιν καὶ τὰ τέκνα ὑμῶν οὐ 18
μὴ ἐλεήσωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις οὐ φείσονται οἱ ὀφθαλμοὶ
αὐτῶν. [19]καὶ ἔσται Βαβυλών, ἣ καλεῖται ἔνδοξος ὑπὸ βασιλέως 19
Χαλδαίων, ὃν τρόπον κατέστρεψεν ὁ θεὸς Σοδομα καὶ Γομορρα·

4 πολλων $1^0 \frown 2^0$ S*† || 5 του ult. AQS^c] > BS*LC: post αυτου | την οικ. ολην] πασαν την οικ. BLC || 6 η > B || 7 πασαι χειρες A† || 8 και $1^0$ > B† || 9 ημερα] pr. η SA† | ανιατος ερχ.] tr. BLC = 𝔐 | ολην SQL] > BAC || 10 κοσμος] οικος S*† | φως $1^0$] + αυτων LC (in O sub ※) || 12 ο $1^0$ > BLC | ο $2^0$ > S* | εκ] εν B† || 14 ανθρωπον ult.] -πος BS*C | αυτου ult.] εαυ. BC | διωξαι] -ξεται BS*C || 15 ος] ως S* | οιτινες] οσοι A† || 16 ενωπιον αυτων / ραξ. AQS^s] tr. LC (C ρηξ.) | αυτων $2^0$ > B†, $2^0 \frown 3^0$ S*† || 17 χρυσιον S*A† || 18 ου ult. Ra.] σου BSAQC: post τεκνοις; σου ου L || 19 υπο] απο BVC†